# I dialetti – L’eolico – Testi letterari

## 1. Sapph. fr. 31 V.

(⊗) ⸤φαίνεταί μοι κῆνος ἴσος θέοισιν
ἔμμεν’ ὤνηρ, ὅττις ἐνάντιός τοι
ἰσδάνει καὶ πλάσιον ἆδυ φωνεί-
σας ὐπακούει

καὶ γελαίσας ἰμέροεν, τό μ’ ἦ μὰν
καρδίαν ἐν στήθεσιν ἐπτόαισεν,
ὠς γὰρ <ἔς> σ’ ἴδω βρόχε’ ὤς με φώνη-
σ’ οὐδὲν ἔτ’ εἴκει,

ἀλλὰ κὰμ μὲν γλῶσσα ἔαγε λέπτον
δ’ αὔτικα χρῷ πῦρ ὐπαδεδρόμακεν,
ὀππάτεσσι δ’ οὐδὲν ὄρημμ’, ἐπιβρό-
μεισι δ’ ἄκουαι,

κὰδ δ’ ἴδρως ψῦχρος χέεται, τρόμος δὲ
παῖσαν ἄγρει,⸥ χλωροτέ⸤ρα δὲ π⸥οίας
ἔμμι, τεθ⸤νάκην δ’ ὀ⸥λίγω ’πιδε⸤ύης
φα⸥ίνομ’ ἔμ’ αὔṭ⸤ạ·
ἀλλὰ πὰν τόλματον, ἐπεὶ †καὶ πένητα†

## 2. Alcae. fr. 346 V.

πώνωμεν· τί τὰ λύχν’ ὀμμένομεν; δάκτυλος ἀμέρα·
κὰδ δ’ ἄερρε κυλίχναις μεγάλαις, ἄϊτα, ποικίλαις·
οἶνον γὰρ Σεμέλας καὶ Δίος υἶος λαθικάδεα
ἀνθρώποισιν ἔδωκ’. ἔγχεε κέρναις ἔνα καὶ δύο
πλήαις κὰκ κεφάλας, <ἀ> δ’ ἀτέρα τὰν ἀτέραν κύλιξ
ὠθήτω

## 3. Corinn. *PMG* 664a-b

(a) μέμφομη δὲ κὴ λιγουρὰν
Μουρτίδ’ ἰώνγ’ ὅτι βανὰ φοῦ-
σ’ ἔβα Πινδάροι πὸτ ἔριν.

(b) ἰώνει δ’ εἰρώων ἀρετὰς
χεἰρωάδων